ΡΑΨΩΔΙΑ Β

Οἱ μὲν δὴ ἄλλοι θεοί τε, καὶ οἵ ἄνδρες, οἱ ἐφ᾽ ἵππων ὁπλίται, διὰ πάσης τῆς νυκτὸς ὕπνωττον· τὸν Δία δὲ οὐ κατεῖχεν ὕπνος ἡδύς, ἀλλ᾽ ἐφρόντιζεν οὗτος κατὰ τὸν ἑαυτοῦ λογισμόν, πῶς ἄν τὸν Ἀχιλλέα τιμήσῃ, ἀπολέσῃ δὲ πολλὺς ἐπὶ ταῖς ναυσὶ τῶν Ἑλλήνων· αὕτη δὲ ἔδοξεν αὐτῷ κατὰ τὴν ψυχὴν ἀρίστη βουλή· πέμψαι ἐπὶ τὸν Ἀγαμέμνονα τὸν υἱὸν τοῦ Ἀτρέως ἀπαλητὸν Ὄνειρον καὶ διὰ τοῦ βλαπτικόν· καὶ δὴ καλήσας αὐτόν, λόγους ταχεῖς πρὸς αὐτὸν εἶπεν· Ἄγε, Ὄνειρε ὀλέθριε, ἄπιθι ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων· παραγενόμενος δὲ ἐπὶ τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος τοῦ υἱοῦ τοῦ Ἀτρέως, πάντα αὐτῷ, ὡς ἐπιτάττω, μάλα συμφώνως ἀγόρευε· ὁπλίσαι κέλευσον αὐτὸν πανστρατὶ τοὺς τὴν κόμην τρέφοντας Ἀχαιούς· νῦν γὰρ ἄν ἕλοι τὴν πόλιν τὴν πλατείας ὁδὺς ἔχουσαν τῶν Τρῴων· οὐκέτι γὰρ οἱ θεοὶ οἱ τὰ οὐράνια οἰκοῦντες οἰκήματα κατὰ διῃρημένας γνώμας βουλεύονται· ἐμάλαξε γὰρ πάντας αὐτοὺς ἡ Ἥρα ἱκετεύουσα· λῦπαι δὲ τοῖς Τρωσὶν ἐπήρτηνται·

Οὕτως εἶπεν· ἀπῆλθε δὲ ὁ Ὄνειρος ἅμα τὸν λόγον ἤκουσε· ταχέως δὲ κατέλαβεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων· ἀπῆλθε δὲ ἐπὶ τὸν Ἀγαμέμνονα τὸν υἱὸν τοῦ Ἀτρέως· τοῦτον δὲ κατέλαβεν ὑπνώττοντα ἐν τῇ σκηνῇ· θεῖος δὲ ὕπνος περιειλημμένον αὐτὸν εἶχε· ἔστη δὲ ἐπάνω τῆς ἑαυτοῦ κεφαλῆς ὡμοιωμένος τῷ υἱῷ τοῦ Νηλέως τῷ Νέστορι, ὅν δὴ μάλιστα τῶν ἄλλων ἐνδόξον ἐτίμα ὁ Ἀγαμέμνων· τούτῳ ὁμοιωθεὶς ὁ θεῖος Ὄνειρος πρὸς αὐτὸν ἔφη·
Ὑπνώττεις ὦ υἱὲ τοῦ Ἀτρέως τοῦ συνετὰ δεδιδαγμένου τοῦ πολέμου; Οὐ χρὴ διὰ πάσης τῆς νυκτὸς καθεύδειν ἄνδρα βασιλέα ὑφ᾽ οὗ αἱ βουλαὶ κυροῦνται, ᾧ οἱ λαοί εἰσιν ἐπιτετραμμένοι, καὶ τοσαῦτα διὰ φροντίδος ἐστι· πρὸς τὸ παρὸν δὲ τῶν ἐμῶν λόγων σύνες ταχέως· ἄγγελος δέ εἰμι τοῦ Διὸς πρὸς σὲ ἀπεσταλμένος, ὅς πόῤῥω ὤν καὶ ἀπωκισμένος τὴν φύσιν, ὅμως ἔχει μεγάλην σου φροντίδα καὶ ἐλεεῖ σε· ὁπλίσαι σὲ προστάττει τοὺς τὴν κόμην τρέφοντας Ἀχαιοὺς πανστρατί· νῦν γὰρ ἄν ἕλοις τὴν πόλιν τὴν πλατεῖς τοὺς στενωποὺς ἔχουσαν τῷ Τρῴων· οὐκέτι γὰρ οἱ θεοὶ οἱ τὰ οὐράνια οἰκοῦντες οἰκήματα κατὰ διῃρημένας γνώμας βουλεύονται· λῦπαι δὲ τοῖς Τρωσὶν ἐπήρτηνται ἀπὸ τοῦ Διός· ἀλλὰ σὺ ἐπὶ τῷ σῷ λογισμῷ ταῦτα κάτεχε, μὴ δὲ λήθη σου κατακρατείτω, ἐπειδάν σε ὁ ὕπνος ἀφῇ ὁ κατὰ τὴν τοῦ μέλιτος γλυκύτητα ἡδύνων.